# ΙΕΡΑ ΑΚΟΛΟΥΘΙΑ
## ΤΟΥ ΟΣΙΟΥ ΚΑΙ ΘΕΟΦΟΡΟΥ ΠΑΤΡΟΣ ΗΜΩΝ
## ΑΘΑΝΑΣΙΟΥ ΙΕΡΟΜΟΝΑΧΟΥ ΤΟΥ ΝΕΟΥ
## ΤΟΥ ΕΠΟΝΟΜΑΖΟΜΕΝΟΥ ΧΑΜΑΚΙΩΤΟΥ

Ψαλλομένη τῇ 17ῃ τοῦ μηνὸς Αὐγούστου

Ποίημα τοῦ Μητροπολίτου Ἐδέσσης κ. Ἰωήλ

## ΕΝ ΤΩ͂ ΜΙΚΡΩ͂ ΕΣΠΕΡΙΝΩ͂

Ἱστῶμεν στίχους δ΄ καὶ ψάλλομεν τὰ ἑξῆς προσόμοια.

Ἦχος α΄. Τῶν οὐρανίων ταγμάτων.

Τῶν Καλαβρύτων ὁ γόνος,
ὁ πολυτάλαντος,
τῶν Μοναζόντων κλέος,
καὶ θυτῶν κοσμιότης,
τῆς Νερατζιωτίσσης ἱερουργός,
καὶ πιστῶν ἐπιστήριγμα,
ἐν τοῖς ἐσχάτοις τοῖς χρόνοις σεμνοπρεπῶς,
ἐπεγνώσθης Ἀθανάσιε.

Τῆς Γλυκυτάτης μορφῆς σου,
τὸ πρᾶον ὅσιε,
τῶν εὐσεβῶν τὰ πλήθη,
καθορῶντες ἐζήτουν,
εὐχὰς καὶ δυσωπείας σου πρὸς Χριστόν,

καὶ τὰ θεῖά σου ῥήματα,
σὺ γὰρ ὡς ἄγγελος ὤφθης ἐπὶ τῆς γῆς,
πνευματέμφορε διδάσκαλε.

Τὸ ἱερόν σου ἐν Μπάλλᾳ Ἡσυχαστήριον,
λιμὴν τῶν τεθλιμμένων,

ἀῤῥωστούντων τὸ ἄκος,
καὶ τῶν ἁμαρτανόντων καταυλισμός,
ἀνεδείχθη πανεύφημε,
ἱερομόναχε ὅσιε τοῦ Χριστοῦ,
Ἀθανάσιε πατὴρ ἡμῶν.

Τῶν σῶν λειψάνων ἡ χάρις,
ὄντως ἐκκέχυται,
ἐν πᾶσι τοῖς ἀνθρώποις,
τοῖς ἐν πόθῳ καὶ πίστει,
βεβαίᾳ προσκυνοῦσι ταῦτα σεμνέ,
ἐν τῇ Μάνδρᾳ σου Ὅσιε,
πνευματικὲ Ἀθανάσιε ὑπουργέ,
ἀρετῆς τῆς διακρίσεως.

Δόξα. Ἦχος α΄.

Ἰχνηλατίσας ἀκριβῶς,
τῶν πάλαι ὁσίων τὰ βήματα,
ἐν τοῖς ἐσχάτοις ἔτεσι,
τῇ φωταυγείᾳ τοῦ Πνεύματος,
τῆς ψυχῆς ἐκάθηρας,
τὸ τριμερὲς Ἀθανάσιε·
σὺ γὰρ ἀσφαλῶς,
τοὺς συνόντας σοι ἐπὶ τῆς γῆς,
πρὸς ὁδὸν τῆς σωτηρίας ἴθυνας,
καὶ ἐκ τοῦ πολυπλόκου Βελίαρ διέσωσας·
διὸ καὶ νῦν πάντας τοὺς σὲ ἐπικαλουμένους,
ταῖς σαῖς πρὸς τὸν Δεσπότην πρεσβείαις,
ἐκ τῆς κακουργίας διάσωσον δαιμόνων,
ὡς προστάτης ἡμῶν ἑτοιμότατος.

Καὶ νῦν. Θεοτοκίον.
Ἦχος ὁ αὐτός. Ἁμαρτωλῶν τὰς δεήσεις.

Ὑπεραγία Πάρθενε,
καὶ Θεοτόκε,
τῶν τιμώντων σου ἐν ᾠδαῖς ἐπιταφίοις,
κοίμησιν ταῖς πρὸς Χριστὸν ἱκεσίαις σου,
τὴν ζωὴν αὐτῶν,
περισκέπασον Μῆτερ.

Ἀπόστιχα.
Ἦχος β΄. Οἶκος τοῦ Ἐφραθᾶ.

Γέγονας τοῖς πιστοῖς,
ὁ τύπος εὐσεβείας,
τῷ βίῳ σου καὶ λόγοις,
ἐν χρόνοις τοῖς ἐσχάτοις,
παμμάκαρ Ἀθανάσιε.

Στίχος. Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ Ὁσίου αὐτοῦ.

Μέγας Πνευματικός,
ἐν εἰκοστῷ αἰῶνι,
ἐφάνης θεοφόρε,
καθαίρων ἐκ τῶν ῥύπων,
ψυχὰς τῶν ἐγγιζόντων σοι.

Στίχος. Μακάριος ἀνὴρ ὁ φοβούμενος τὸν Κύριον.

Κάραν σου τὴν σεπτήν,
σὺν τοῖς λειψάνοις πᾶσι,
ἀσμένως πρσκυνοῦντες,
αἰτούμεθα ἐν πίστει,
τῶν σῶν λιτῶν τὴν δύναμιν.

Δόξα. Τριαδικόν.

Γέγονας ἀληθής,
προσκυνητὴς Τριάδος,
λατρεύων τὸν Πατέρα,
Υἱόν τε καὶ τὸ Πνεῦμα,
Θεόφρον Ἀθανάσιε.

Καὶ νῦν. Θεοτοκίον. Ὅμοιον.

Τόκον σου Μαριάμ,
λατρεύομεν ὡς δοῦλοι,
καὶ σὲ τὴν τετοκυῖαν,
αὐτὸν ἀνάνδρως Μῆτερ,
εὐφήμως μακαρίζομεν.

Νῦν ἀπολύεις. Τὸ Τρισάγιον, τὸ Ἀπολυτίκιον
ἐκ τοῦ μεγάλου Ἑσπερινοῦ
καὶ Ἀπόλυσις.

# ΕΝ ΤΩ͂Ι ΜΕΓΑΛΩ͂Ι ΕΣΠΕΡΙΝΩ͂Ι

Μετὰ τὸν Προοιμιακόν, τὸ Μακάριος ἀνήρ.
Εἰς δὲ τὸ Κύριε ἐκέκραξα ἱστῶμεν στίχους στ´
καὶ ψάλλομεν τὰ ἑξῆς Προσόμοια.

Ἦχος α´. Πανεύφημοι μάρτυρες.

Τῶν πάλαι ὁσίων μιμητής,
ἀκριβὲς ὁμοίωμα,
ἐν λόγοις πάτερ καὶ ἤθεσι,
ἐφάνης πάντιμε,
ἐν ἁγίᾳ Λαύρᾳ,
τῆς κλεινῆς πατρίδος σου,
πυκτεύων καθ´ ἡμέραν ὡς ἄσαρκος,
διὸ κατηύγασας,
τοῦ νοός σου ἐνεργήματα,
καὶ ὡς ἄστρον,
πιστοὺς καθωδήγησας.

Θυτῶν ἐνδυσάμενος στολήν,
ἱερούργεις ὅσιε,
καθικετεύων πρεσβείαις σου,
Χριστὸν τὸν Κύριον,
ὅπως τὰ σὰ τέκνα,
σωτηρίαν εὕρωσι,
καὶ φεύξωνται βελίαρ τὸ δέλεαρ,
διὸ τὰς χεῖράς σου,
πρὸς τὰ ἄνω Ἀθανάσιε,
ὑπὲρ τούτων,
ἀσμένως ἐξέτεινας.

Πατὴρ ὁ φιλόστοργος ὀφθείς,
ἐν τῷ κόσμῳ ὅσιε,
ἐν τῇ Μονῇ τῆς Θεόπαιδος,
διδάσκεις ἅπαντας,
τὰ τῆς εὐσεβείας,
ἱερὰ ἐντάλματα,
καὶ θείας βασιλείας τὸν δίαυλον,
σοφοῖς σου ῥήμασι,
καὶ σημείοις Ἀθανάσιε,

τῶν Πατέρων,
τῶν πάλαι ἰσότιμος.

Ὀστέων σου πάτερ ἡ σορός,
ὡς χρυσὸς ἀδάπανος,
ἐν τῇ Μονῇ σου ἀπόκειται,
πλουτοῦσα χάριτας,
τοῖς ἀσπαζομένοις,
ταύτην μετὰ πίστεως,
δοχεῖον γὰρ ἐδείχθη τοῦ Πνεύματος,
διὸ βοῶμέν σοι,
τὴν σὴν Μάνδραν Ἀθανάσιε,
μὴ παρίδῃς,
φρουρῶν τῇ δυνάμει σου.

Δεχθεὶς ἀποκάλυψιν Χριστοῦ,
τῆς θανῆς σου ὅσιε,
τοὺς ὀφθαλμούς σου ἐστήριξας,
πρὸς τὴν ἐράσμιον,
Παραδείσου Πόλιν,
ὡς ἀνὴρ φιλόθεος,
καὶ ἤντλησας δυνάμεις καὶ ἤνεγκας,
σαρκὸς νοσήματα,
τὰ ἀνίατα πανεύφημε,
τοῖς σοῖς τέκνοις,
γενόμενος πρότυπον.

Τὸ ζῆν ἐκμετρήσας εὐσεβῶς,
μετετέθης ὅσιε,
ἐν οὐρανοῖς Ἀθανάσιε,
ὁρῶν τὸ ἄκτιστον,
τοῦ Κυρίου φάος,
τὸ λαμπρῦνον ἅπαντας,
πολίτας Παραδείσου πανόλβιε,
διὸ γηθόμενοι,
τὴν σὴν μνήμην ἑορτάζοντες,
ἀνυμνοῦμεν,
τὸν σὲ μεγαλύναντα.

Δόξα. Ἦχος πλ.β΄.

Τῶν μοναστῶν ὑπογραμμόν,
καὶ ἱερέων κοσμήτορα,

ἐλεημοσύνης συνήγορον,
καὶ προσευχῆς ἐραστήν,
πνευματοφόρον τῶν πιστῶν διδάσκαλον,
καὶ κοσμικῶν πρὸς τὸν Θεὸν ἀλείπτην,
ὡς φιλέορτοι ἐγκωμιάσωμεν,
οὕτω λέγοντες·
Χαίροις τῆς Τουρλάδος,
τὸ πολύκαρπον δένδρον,
τὸ ἐκβλαστῆσαν,
ταπεινώσεως καρποὺς καὶ πραότητος·
χαίροις ἱερομόναχε ὅσιε,
τῆς Νερατζιωτίσσης καλλώπισμα,
καὶ τῆς ἰδίας σου ἐν Ροδοπόλει,
μονῆς τὸ θεμέλιον·
Χαίροις τῶν ἀρετῶν ὁ γηπόνος,
ὁ γεωργήσας τὴν ἄρουραν τῆς ψυχῆς,
μοναχῶν ἀνδρῶν τε λαϊκῶν,
γυναικῶν καὶ παιδίων.
Ἀλλ᾽ ὦ παμμάκαρ Ἀθανάσιε,
ὡς ἔχων παῤῥησίαν μὴ παύσῃ καθικετεύων,
ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

Καὶ νῦν. Τῆς ῾Εορτῆς.

Εἴσοδος, τὸ Φῶς ἱλαρόν καὶ τὰ Ἀναγνώσματα.

Παροιμιῶν τὸ Ἀνάγνωσμα
(Κεφ. 10,7)

Μνήμη δικαίου μετ' ἐγκωμίων, καὶ εὐλογία Κυρίου ἐπὶ κεφαλὴν αὐτοῦ. Μακάριος ἄνθρωπος, ὃς εὗρε σοφίαν καὶ θνητός, ὃς οἶδε σύνεσιν. Κρεῖσσον γὰρ αὐτὴν ἐμπορεύεσθαι, ἢ χρυσίου καὶ ἀργυρίου θησαυρούς. Τιμιωτέρα δέ ἐστι λίθων πολυτελῶν· πᾶν δὲ τίμιον, οὐκ ἄξιον αὐτῆς ἐστιν. Ἐκ γὰρ τοῦ στόματος αὐτῆς ἐκπορεύεται δικαιοσύνη, νόμον δὲ καὶ ἔλεον ἐπὶ γλώσσης φορεῖ. Τοιγαροῦν ἀκούσατέ μου, ὦ τέκνα, σεμνὰ γὰρ ἐρῶ. Καὶ μακάριος ἄνθρωπος, ὃς τὰς ἐμὰς ὁδοὺς φυλάξει. Αἱ γὰρ ἔξοδοί μου, ἔξοδοι ζωῆς, καὶ ἑτοιμάζεται θέλησις παρὰ Κυρίου. Διὰ τοῦτο παρακαλῶ ὑμᾶς καὶ προΐεμαι ἐμὴν φωνὴν υἱοῖς ἀνθρώπων. Ὅτι ἐγὼ ἡ σοφία κατεσκεύασα βουλὴν καὶ γνῶσιν καὶ ἔννοιαν· ἐγὼ ἐπεκαλεσάμην. Ἐμὴ βουλὴ καὶ ἀσφάλεια, ἐμὴ φρόνησις, ἐμὴ δὲ ἰσχύς. Ἐγὼ τοὺς ἐμὲ φιλοῦντας ἀγαπῶ, οἱ δὲ ἐμὲ ζητοῦντες εὑρήσουσι χάριν. Νοήσατε τοίνυν ἄκακοι πανουργίαν, οἱ δὲ ἀπαίδευτοι ἔνθεσθε καρδίαν. Εἰσακούσατέ μου καὶ

πάλιν, σεμνὰ γὰρ ἐρῶ· καὶ ἀνοίγω ἀπὸ χειλέων ὀρθά. Ὅτι ἀλήθειαν μελετήσει ὁ λάρυγξ μου, ἐβδελυγμένα δὲ ἐναντίον ἐμοῦ χείλη ψευδῆ. Μετὰ δικαιοσύνης πάντα τὰ ῥήματα τοῦ στόματός μου, ούδὲν ἐν αὐτοῖς σκολιόν, οὐδὲ στραγγαλιῶδες. Πάντα εὐθέα ἐστὶ τοῖς νοοῦσι καὶ ὀρθὰ τοῖς εὑρίσκουσι γνῶσιν. Διδάσκω γὰρ ὑμῖν ἀληθῆ, ἵνα γένηται ἐν Κυρίῳ ἡ ἐλπὶς ὑμῶν, καὶ πλησθήσεσθε πνεύματος.

Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα
(Κεφ. 4,7)

Δίκαιος ἐὰν φθάσῃ τελευτῆσαι, ἐν ἀναπαύσει ἔσται. Γῆρας γὰρ τίμιον οὐ τὸ πολυχρόνιον, οὐδὲ ἀριθμῷ ἐτῶν μεμέτρηται. Πολλιὰ δέ ἐστι φρόνησις ἀνθρώποις· καὶ ἡλικία γήρως βίος ἀκηλίδωτος. Εὐάρεστος Θεῷ γενόμενος ἠγαπήθη· καὶ ζῶν μεταξὺ ἁμαρτωλῶν μετετέθη. Ἡρπάγη, μὴ κακία ἀλλάξῃ σύνεσιν αὐτοῦ ἢ δόλος ἀπατήσῃ ψυχὴν αὐτοῦ· βασκανία γὰρ φαυλότητος ἀμαυροῖ τὰ καλά, καὶ ῥεμβασμὸς ἐπιθυμίας μεταλλεύει νοῦν ἄκακον. Τελειωθεὶς ἐν ὀλίγῳ ἐπλήρωσε χρόνους μακρούς· ἀρεστὴ γὰρ ἦν Κυρίῳ ἡ ψυχὴ αὐτοῦ· διὰ τοῦτο ἔσπευσεν ἐκ μέσου πονηρίας. Οἱ δὲ λαοὶ ἰδόντες καὶ μὴ νοήσαντες, μηδὲ θέντες ἐπὶ διανοίᾳ τὸ τοιοῦτον, ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα
(Κεφ. 3,1)

Δικαίων ψυχαὶ ἐν χειρὶ Θεοῦ καὶ οὐ μὴ ἅψηται αὐτῶν βάσανος. Ἔδοξαν ἐν ὀφθαλμοῖς ἀφρόνων τεθνάναι καὶ ἐλογίσθη κάκωσις ἡ ἔξοδος αὐτῶν καὶ ἡ ἀφ' ἡμῶν πορεία σύντριμμα· οἱ δέ εἰσιν ἐν εἰρήνῃ· καὶ γὰρ ἐν ὄψει ἀνθρώπων, ἐὰν κολασθῶσιν, ἡ ἐλπὶς αὐτῶν ἀθανασίας πλήρης. Καὶ ὀλίγα παιδευθέντες μεγάλα εὐεργετηθήσονται· ὅτι ὁ Θεὸς ἐπείρασεν αὐτούς, καὶ εὗρεν αὐτοὺς ἀξίους ἑαυτοῦ. Ὡς χρυσὸν ἐν χωνευτηρίῳ ἐδοκίμασεν αὐτοὺς καὶ ὡς ὁλοκάρπωμα θυσίας προσεδέξατο αὐτούς. Καὶ ἐν καιρῷ ἐπισκοπῆς αὐτῶν ἀναλάμψουσι, καὶ ὡς σπινθῆρες ἐν καλάμῃ διαδραμοῦνται. Κρινοῦσιν ἔθνη, καὶ κρατήσουσι λαῶν, καὶ βασιλεύσει αὐτῶν Κύριος εἰς τοὺς αἰῶνας. Οἱ πεποιθότες ἐπ' αὐτῷ συνήσουσιν ἀλήθειαν, καὶ οἱ πιστοὶ ἐν ἀγάπῃ προσμενοῦσιν αὐτῷ· ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ, καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

## ΕΙΣ ΤΗΝ ΛΙΤΗΝ

### Ἦχος α΄.

Εὐφραίνου ἐν Κυρίῳ,
ἡ τῆς Κηφισίας Μητρόπολις,
ὅτι ὡς δένδρον πολύκαρπον καὶ καλλίκαρπον,
ἐν τοῖς ὑστέροις ἔτεσιν ἀνέθαλεν,
ὁ ὅσιος πατὴρ ἡμῶν Ἀθανάσιος,
ὁ ταπεινὸς ἱερομόναχος.
Οὗτος γὰρ ὁ μακάριος γέρων,
ἐν τῇ σεβασμίᾳ μονῇ τῆς Φανερωμένης,
ἄριστος πνευματικὸς ἐδείχθη πατήρ,
τοῖς κοσμικοῖς καὶ ταῖς μοναζούσαις,
ἀσφαλῶς καθοδηγῶν πάντας τούτους,
ἐν τῇ ὁδῷ τῇ στενῇ τοῦ Κυρίου,
τῇ ἀπαγούσῃ εἰς τὴν αἰώνιον ζωήν,
ἧς καὶ ἡμεῖς ἀξιωθείημεν θεόφρον,
ταῖς ἰσχυραῖς πρεσβείαις σου,
πρὸς Χριστὸν τὸν ἐλεήμονα.

### Ἦχος β΄.

Ὁσίως διανύσας τὸν βίον σου,
ὡς πάλαι οἱ θεοφόροι Πατέρες,
εἰς τὸ πλάτος κατήντησας,
τῆς Βασιλείας τοῦ Χριστοῦ·
σὺ γὰρ νηστείαις καὶ προσευχαῖς,
καὶ δακρυῤῥόοις θρήνοις,
τῆς ψυχῆς σου ἐκάθηρας,
τὸ τριμερὲς πανόσιε,
καὶ φθάσας εἰς τὸ ἄκρον τῶν ἐφετῶν,
τὴν μακαρίαν θέωσιν,
ὡς ἀπλανὴς διδάσκαλος,
τοὺς συνόντας σοι,
πρὸς τὸν Θεὸν κατηύθυνας·
διὸ καὶ ἡμᾶς τοὺς τιμῶντας,
τὴν ἀεισέβαστον μνήμην σου,
μὴ παύσῃς πρεσβείαις σου,
πάτερ Ἀθανάσιε,
ἐκ τῆς ἀμελείας διεγείρων,
καὶ ὠθῶν τὸν νοῦν καὶ τὰς καρδίας ἡμῶν,
πρὸς τὰ θειότερα,
καὶ τὰ κρείττονα.

Ἦχος γ΄.

Ἔχων τὸν θεάρεστον ζῆλον,
ἐξ ἀπαλῶν ὀνύχων,
ἐν τῇ Τουρλάδι τῇ σῇ πατρίδι,
διηνεκῶς ἐσχόλαζες ὡς ἄγγελος,
ἐν τῷ ναῷ τοῦ χωρίου σου,
παράδειγμα γενόμενος τοῖς ὁμηλίκοις σου,
εἶτα δὲ ἐν τῇ μονῇ τῆς ἁγίας Λαύρας προσελθών,
ἠξιώθης λαβεῖν ἀξίως,
τοῦ ἀγγελικοῦ τῶν Μοναζόντων σχήματος,
θεοφόρε Ἀθανάσιε,
καταστὰς ὑπογραμμὸς καὶ τύπος,
πάντων τῶν ἐν τῇ πολυφήμῳ μάνδρᾳ σου,
εὐσεβῶν μονοτρόπων.
Καὶ τὰ νῦν συνδιαιτώμενος ἐν οὐρανοῖς,
τοῖς ἀπ' αἰῶνος ὁσίοις,
μὴ ὀκνήσῃς δυσωπῶν,
τὸν κοινὸν ἡμῶν Δεσπότην,
ὑπὲρ τῆς μάνδρας σου,
ὡς κτήτωρ ταύτης καὶ ἔφορος.

Ἦχος δ΄.

Ἔχων ἐν τῇ καρδίᾳ σου σύνοικον,
τοῦ Παναγίου Πνεύματος τὴν χάριν,
ἀλείπτης ὤφθης θαυμαστός,
πάντων τῶν αἰτούντων σου,
πάτερ Ἀθανάσιε τὴν βοήθειαν,
καὶ τῶν ἁμαρτάδων συγχώρησιν·
ὅθεν καὶ ἡμεῖς,
τὰ ἔκγονά σου μάκαρ,
πρὸ τῆς σῆς εἰκόνος,
καὶ τῶν μυροῤῥόων λειψάνων σου ἱστάμενοι,
μονασταὶ καὶ λαϊκοί,
ἱερεῖς καὶ κοσμικοί,
πρὸς σὲ πλέκομεν ὕμνον ἱκέσιον,
ἵνα ταῖς σαῖς ἱκετηρίαις τύχωμεν,
τοῦ Σωτῆρος Χριστοῦ,
τὴν εἰρήνην καὶ τὸ μέγα ἔλεος.

Δόξα. Ἦχος πλ. α΄.

Πάτερ θεοδόξαστε,
καθ΄ ὕπαρ καὶ κατ' ὄναρ,
ἐν σημείοις καὶ θαύμασιν,
συνέτρεξας τοῖς ἀλγοῦσι,
καὶ πάσχουσι κατ' ἄμφω,
ὡς παραστάτης θερμότατος,
ἐν ζωῇ καὶ μετὰ τὴν θανήν σου.
Καυχώμεθα οὖν ἐν Κυρίῳ,
σὲ προστάτην καὶ πατέρα ἔχοντες,
παμμάκαρ Ἀθανάσιε,
καὶ κάμπτοντες τὰ γόνατα,
ταπεινῶς παρακαλοῦμεν,
ἡμᾶς τοὺς φιλοῦντας,
καὶ τὴν κοινὴν ἡμῶν πατρίδα,
ἀπὸ πάσης ἐπιβουλῆς,
πονηρῶν καὶ κακοτρόπων,
πνευμάτων τε καὶ ἀνθρώπων φύλαττε,
ὡς ἔχων παῤῥησίαν πρὸς Κύριον.

Καὶ νῦν. Ὁ αὐτός. Τῆς ἑορτῆς.

Ἄσατε λαοί,
τῇ Μητρὶ τοῦ Θεοῦ ἡμῶν ᾄσατε·
σήμερον γὰρ τὴν ὁλόφωτον ψυχὴν αὐτῆς,
εἰς τὰς ἀχράντους παλάμας,
τοῦ ἐξ αὐτῆς σαρκωθέντος ἄνευ σπορᾶς,
παρατίθησιν,
ᾧ καὶ πρεσβεύει ἀδιαλείπτως,
δωρηθῆναι τῇ οἰκουμένῃ εἰρήνην,
καὶ τὸ μέγα ἔλεος.

Εἰς τὸν στίχον. Στιχηρὰ Προσόμοια.

Ἦχος πλ.α΄. Χαίροις ἀσκητικῶν.

Χαίροις ἐν Ῥοδοπόλει μονή,
ἡ ἐγερθεῖσα πρὸς τιμὴν τῆς Θεόπαιδος,
ὑπὸ τοῦ Ἀθανασίου,
ἁγιωτάτου ἀνδρός,
ἱερομονάχου τοῦ θεόφρονος·
ὡσεὶ γὰρ διδάσκαλος,

ἐν ἐσχάτοις τοῖς ἔτεσι,
τὰς μοναζούσας,
καὶ πιστῶν τὰ συστήματα,
καθωδήγησε,
βιοτῇ καὶ τοῖς ῥήμασιν,
ὄντως πρὸς τὴν μετάνοιαν,
σαρκὸς καθαρότητα,
καὶ ἀρετῶν κορωνίδα,
τὴν ἐρασμίαν ἀγάπησιν,
Χριστοῦ τοῦ Σωτῆρος,
τοῦ φιλοῦντος ὑπὲρ φύσιν,
πιστῶν ἀθροίσματα.

Στίχ. Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ ὁσίου αὐτοῦ.

Χαίροις τῆς Ἐκκλησίας Χριστοῦ,
ἀδάμας νέος,
ὁ λαμπρὸς καὶ πολύεδρος,
ὁ σάπφειρος ἐγκρατείας,
ὁ μαργαρίτης εὐχῶν,
ὑπὲρ τῶν αἰτούντων τὰς σὰς χάριτας·
νοσούντων ὁ σμάραγδος,
θεραπεύων οἰδήματα,
ὁ ἀπαστράπτων,
μετανοίας χρυσόλιθος,
διακρίσεως,
ὁ πολύτιμος βήρυλλος,
ἴασπις τῆς ἀσκήσεως,
νηστείας τοπάζιον,
ἱερωσύνης τῆς θείας,
ὁ διαυγέστατος ὕαλος,
πολύτιμος λίθος,
τῶν μονῶν τοῦ Παραδείσου,
ὦ Ἀθανάσιε.

Στίχ. Μακάριος ἀνὴρ ὁ φοβούμενος τὸν Κύριον.

Χαίροις σημειοφόρε σεπτέ,
ὁ θεραπεύων ἀῤῥωστούντων παθήματα,
τὴν νόσον τῆς λευχαιμίας,
καρκινωμάτων πληγάς,
καὶ τῶν σπλάγχνων πάτερ τὴν διόγκωσιν·
ἀκέστωρ γὰρ ἔμπειρος,

τῆς ψυχῆς πεφανέρωσαι,
ἰάσας μάκαρ,
φοβιῶν τὰ οἰδήματα,
τῶν ὑμνούντων σε,
ἐκ καρδίας πανόλβιε.
Ὅθεν τὸ σὸν κοινόβιον,
ὡς ἔχον τὴν κάραν σου,
καὶ τὰ ὀστέα σου πάτερ,
θεραπευτήριον γέγονε.
Καὶ νῦν ἐκδυσώπει,
ταῖς ψυχαῖς ἡμῶν δοθῆναι,
τὸ μέγα ἔλεος.

Δόξα. Ἦχος πλ.δ΄.

Πάτερ φιλόθεε,
τῶν πρὸ σοῦ ὁσίων,
τέλειος τῇ ἀσκήσει καὶ προσευχῇ,
μιμητὴς καὶ ὁμόηθος ὑπάρχων,
τὸν παλαιὸν καὶ φθειρόμενον ἄνθρωπον,
καὶ τὰς ἐπιθυμίας αὐτοῦ ἀποδυσάμενος,
εἰς ὕψος ἤρθης τῆς μακαρίας θεώσεως·
διὸ καὶ ἀπέσεισας,
τῶν ἁμαρτωλῶν ἡδέων τὴν ἀπόλαυσιν,
τῆς προσκαίρου δόξης τὸ εὐτελὲς δοξάριον,
τὴν ἀνθρωπαρέσκειαν,
καὶ πάντα τοῦ ἀρχεκάκου ἀντιδίκου,
τὰ ὑποψιθυρίσματα,
ἀντὶ δὲ τούτων ἠγάπησας,
τὰς ἐντολὰς καὶ τὰ κρίματα,
τοῦ φιλανθρώπου Ἰησοῦ Χριστοῦ,
ὃν διηνεκῶς ἅγιε Ἀθανάσιε ἱκέτευε,
σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Καὶ νῦν. Τῆς ἑορτῆς.

Νῦν ἀπολύεις. Τὸ Τρισάγιον.

## Ἀπολυτίκια.

### Τοῦ Ὁσίου.

Ἦχος πλ.α΄. Τὸν Συνάναρχον Λόγον.

Τῶν ὁσίων ζηλώσας τὸ ἦθος ἔσπευσας,
ἐξ ἁπαλῶν σου ὀνύχων,
τῷ σῷ Δεσπότῃ Χριστῷ,
σεαυτὸν προσαγαγών,
διὸ καὶ γέγονας,
Ἀθανάσιε σοφέ,
μοναστῶν καὶ κοσμικῶν,
ἐν Πνεύματι ποδηγέτης,
καὶ νῦν μὴ παύσῃ πρεσβεύων,
ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

### Τῆς ἑορτῆς.

Ἐν τῇ γεννήσει τὴν παρθενίαν.

### Ἕτερον προσιδιάζον τῇ Ἱερᾷ Μονῇ.

Ἦχος γ΄. Θείας πίστεως.

Πάτερ ἤγειρας,
ἐν Ῥοδοπόλει,
τὸ κοινόβιον Φανερωμένης,
μοναζουσῶν εὐσεβῶν καταφύγιον,
ἃς τῷ σῷ κράτει διάσῳζε Δέσποτα,
ἐκ συστροφῶν τοῦ ἀρχαίου ἀλάστορος,
ὅπως ὅσιε,
Χριστὸν τὸν Θεὸν λατρεύωσι,
ἀπαύστως θεοφόρε Ἀθανάσιε.

### Καὶ τῆς ἑορτῆς.

Ἐν τῇ γεννήσει τὴν παρθενίαν.

### Ἀπόλυσις.

# ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

## Μετὰ τὴν α΄ Στιχολογίαν, Κάθισμα.

Ἦχος α΄. Τὸν τάφον σου Σωτήρ.

Ἀξίως ἡ Μονή,
τῆς μητρὸς τοῦ Κυρίου,
τὴν μνήμην σου τιμᾷ,
ἐγκωμίοις καὶ ὕμνοις,
κατ' ἔτος Ἀθανάσιε,
ἐπεὶ ταύτης γεγένησαι,
κτήτωρ ἅγιος,
καὶ μοναχῶν ὁ διδάχος,
καὶ αἰτεῖταί σου,
πάτερ τὴν σὴν προστασίαν,
τὴν σκέπην καὶ δύναμιν.

Θεοτοκίον. Τῆς ἑορτῆς.

Παρθένε Μαριάμ,
ἐκ τῆς γῆς πρὸς τὰ ἄνω,
ἀπήρθης ἐν μοναῖς,
τοῦ Πατρὸς τοῦ Υἱοῦ σου,
καὶ γάννυνται οἱ ἄγγελοι,
καθορῶντες τὸν Κύριον,
τὸν βαστάζοντα,
υἱοπρεπῶς τὴν ψυχήν σου,
ὃν ἱκέτευε,
διηνεκῶς ταῖς λιταῖς σου,
ὑπὲρ τῶν ὑμνούντων σε.

## Μετὰ τὴν β΄ Στιχολογία, Κάθισμα.

Ἦχος γ΄. Θείας πίστεως.

Ἐκ νεότητος ἀφιερώθης,
τῷ Κυρίῳ σου ἀεὶ σχολάζων,
ἐν προσευχαῖς καὶ γονάτων ταῖς κάμψεσι,
ἀγγελικὴν πολιτείαν μιμούμενος,
ὡς τῶν ἀρχαίων Πατέρων ἐπίγονος,
Πάτερ ὅσιε,
Χριστὸν τὸν Θεὸν ἱκέτευε,
δωρήσασθαι ἡμῖν τὸ μέγα ἔλεος.

Τῆς Ἑορτῆς. Ὅμοιον.

Ἀειπάρθενε Φανερωμένη,
κατεπλάγησαν ἀγγέλων τάξεις,
ἐν ταῖς χερσὶ καθορῶσαι βαστάζοντα,
τὴν σὴν ψυχὴν τὸν Υἱόν σου καὶ Κύριον,
τὸν ὑπὲρ φύσιν τεχθέντα τῷ Πνεύματι,
ὃν ἱκέτευε,
ἁγνὴ Μαριὰμ πρεσβείαις σου,
δωρήσασθαι ἡμῖν τὸ μέγα ἔλεος.

Μετὰ τὸν Πολυέλαιον, Κάθισμα.

Ἦχος δ΄. Ἐπεφάνης σήμερον.

Ἡ μονή σου σήμερον,
τὴν σὴν θεόφρον,
ἑορτάζει κοίμησιν,
ἀναβοῶσα ταπεινῶς,
ταῖς σαῖς πρεσβείαις λυτρούμενος,
μὴ διαλίπῃς,
αὐτὴν Ἀθανάσιος.

Θεοτοκίον. Τῆς ἑορτῆς.

Θεοτόκε Δέσποινα,
ἐν δεξιᾷ τοῦ Υἱοῦ σου,
ἱσταμένη ἔκτεινον,
ὑπὲρ ἡμῶν τῶν ἱκετῶν,
τὰς δύο χεῖράς σου Πάναγνε,
ἵνα ῥυσθῶμεν,
πυρὸς τῆς κολάσεως.

Τὸ α΄ Ἀντίφωνον τοῦ δ΄ ἤχου.
Καὶ τὸ Προκείμενον.
Στίχ. Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ Ὁσίου αὐτοῦ.
Στίχ. Μακάριος ἀνὴρ ὁ φοβούμενος τὸν Κύριον.

Εὐαγγέλιον τὸ ἐν τῷ Ὄρθρῳ.
Τοῦ Ὁσίου Ἀντωνίου (17 Ἰανουαρίου).

Ὁ Ν΄.
Δόξα. Ταῖς τοῦ σοῦ Ὁσίου.
Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου.

Ἰδιόμελον. Ἦχος πλ.β΄.
Στίχ. Ἐλέησόν με ὁ Θεὸς κατὰ τὸ μέγα ἔλεός σου.

Ἀσκητικῶς ἐπὶ τῆς γῆς βιώσας,
ἐν οὐρανοῖς ἠριθμήθης,
τοῖς ὁσίοις πατράσι,
πάτερ Ἀθανάσιε,
καὶ βλέπων τὸ τοῦ Χριστοῦ,
πάμφωτον θεῖον Πρόσωπον,
ἐκλάμπεις ὡς ἥλιος,
κατὰ τὸ αὐτοῦ λόγιον·
ὃν δυσώπησον ταῖς ἱκετηρίαις σου,
ἵνα τύχωμεν καὶ ἡμεῖς,
τῆς οὐρανίου λαμπρότητος.

Εἶτα οἱ Κανόνες τῆς Ἑορτῆς καὶ τοῦ Ὁσίου.

Κανὼν πρῶτος τοῦ Ὁσίου οὗ ἡ Ἀκροστιχίς·
*«Ἀθανάσιον ἱεροθύτην ὕμνοις τιμῶ. Ἰωήλ.»*

ᾨδὴ α΄. Ἦχος δ΄. Ἀνοίξω τὸ στόμα μου.

Αἰτοῦμαι τὴν χάριν σου,
Χριστὲ Σωτὴρ πολυέλεε,
κἀγὼ ὁ ἀνάξιος,
ὅπως ὑμνήσω καλῶς,
Ἀθανάσιον,
τὸν σὸν ἱεροθύτην,
τὸν λόγοις καὶ πράξεσιν,
Ὁσίως ζήσαντα.

Θεοῦ τὰ ἐντάλματα,
ὡς μειρακίσκος ἐτήρησας,
καὶ εἶτα ὡς τέλειος,
εἰς κορυφὴν ἀρετῶν,
τῆς θεώσεως,
ἀνῆλθες θεοφόρε,
σεμνὲ Ἀθανάσιε,
Τουρλάδος βλάστημα.

Ἀσμένως τὴν μνήμην σου,
τὴν ἀεισέβαστον ὅσιε,
γεραίρομεν σήμερον,
ἐν τῇ σεπτῇ σου Μονῇ,
καὶ αἰτούμεθα,
ὡς ἔκγονά σου πάτερ,
ἡμῖν Ἀθανάσιε,
θερμῶς τὴν ῥώμην σου.

Θεοτοκίον.

Νῦν πᾶσαι Πανάχραντε,
αἱ γενεαὶ μακαρίζουσιν,
ὡς πάλαι προείρηκας,
σὲ τὴν τεκοῦσαν Υἱόν,
τὸν ποιήσαντα,
τῷ λόγῳ πᾶσαν κτίσιν,
Πατρὸς δὲ καὶ Πνεύματος,
Λόγον Συνάναρχον.

Τοῦ ῾Οσίου δεύτερος, οὗ ἡ Ἀκροστιχίς·
*«Τῶν ὀστέων σου τὴν χάριν αἰτοῦμαι. Ἰωήλ»*

Ὠδὴ α΄. Ἦχος πλ.δ΄. ῾Υγρὰν διοδεύσας.

Τῶν θείων λειψάνων σου κομιδήν,
ὁμοῦ δὲ καὶ μνήμην,
ἑορτάζοντες ἐν Μονῇ,
τῇ σῇ Ἀθανάσιε παράσχου,
ἡμῖν τοῖς τέκνοις σου,
ῥῶσιν τὴν ἄφθονον.

῾Ως μέγα θησαύρισμα ἀληθῶς,
κατέχει ἐν Μπάλλᾳ,
τὰ σὰ λείψανα ἡ Μονή,
ἀρύουσα πάτερ ἰατρείας,
τῶν νοσημάτων,
ψυχῆς καὶ τοῦ σώματος.

Ναμάτων παρέχει τὸν γλυκασμόν,
ἡ κάρα σου ὄντως,
καὶ ἡ θήκη τῶν σῶν ὀστῶν,
τοῖς πίστει καὶ πόθῳ προσκυνοῦσι,

ταῦτα θεόφρον,
κλεινὲ Ἀθανάσιε.

Θεοτοκίον.
Ὀστράκινον κάλυμμα τῆς σαρκός,
ἀπέθου Παρθένε,
ὥσπερ πάντες ἐν τῇ χθονί,
τὴν δὲ σὴν ψυχὴν παραλαμβάνει,
ἐν οὐρανοῖς,
ὁ Υἱός σου ἀμόλυντε.

Τοῦ Ὁσίου πρῶτος.
Ὠδὴ γ΄. Τοὺς σοὺς ὑμνολόγους.

Ἀκόπως παράλυτον γυναῖκα,
ὡς ἄγγελος πάτερ φροντιστής,
εὐσπλάγχνως ᾠκονόμησας,
παρέχων Ἀθανάσιε,
Νερατζιωτίσσης κόσμημα,
τὰ πρὸς τὸ ζῆν ἀπαραίτητα.

Σωθεῖσα ἐκ νόσου τῶν σπονδύλων,
κατ' ὄναρ ἐδέχθη ὑπὸ σοῦ,
τὸ ἄκος Ἀθανάσιε,
γυνὴ εὐγνώμων κράζουσα,
τὰ σὰ πολλὰ χαρίσματα,
ὑπὲρ ἡμῶν τῶν οἰκείων σου.

Ἰδόντες τὸ τέλος τοῦ σοῦ βίου,
ὑμνοῦμεν τὸν ἅγιον Θεόν,
ἐπεὶ κατηξιώθημεν,
γνωρίσαι Ἀθανάσιε,
σὲ τὸν ἱερομόναχον,
καὶ τῶν ὁσίων ὁμότροπον.

Θεοτοκίον.
Ὁ τάφος σου Μῆτερ Θεοτόκε,
θησαύρισμα μέγα τοῖς πιστοῖς,
ὑπάρχει τὸ ἀδάπανον,
παρέχων τοῖς αἰτοῦσί σου,
τὴν ἰατρείαν Δέσποινα,
ἐξ ἀνιάτων παθήσεων.

Κανὼν δεύτερος τοῦ Ὁσίου.
Ὠδὴ γ΄. Οὐρανίας ἀψῖδος.

Σοφισθεὶς οὐρανόθεν,
τοῦ δυσμενοῦς δράκοντος,
τὰς ψυχοβλαβεῖς ἐπηρείας,
πάτερ διέλυσας·
διὸ καὶ ἔσωσας,
δαιμονοφόρητον νέον,
ἐξ ἀρκύων ὅσιε,
τοῦ πολεμήτορος.

Τὰ σὰ τέκνα παιδεύεις,
πολυειδῶς ἅγιε,
τούτοις πατρικῶς ἐπιστέλλων,
Χριστοῦ ἐντάλματα,
ὅπως βιώσωσιν,
ἐπὶ τῆς γῆς θεαρέστως,
καὶ κληρονομήσωσι,
ζωὴν αἰώνον.

Ἐπιγνῶναι ἐπόθεις,
τὸ τοῦ Θεοῦ θέλημα,
ἐπὶ βακτηρίας ἐστάθης,
τῆς ταπεινώσεως,
καὶ Ἀθανάσιε,
τῶν ἀποῤῥήτων τὴν γνῶσιν,
εἴληφας μακάριε,
καθάπερ ἄγγελος.

Θεοτοκίον.
Ὡς τιμίαν ὑμνοῦμεν,
οἱ γηγενεῖς Ἄχραντε,
τὴν ἀπὸ τῆς γῆς πρὸς τὰ ἄνω,
θείαν σου ἄνοδον,
ἐπεὶ ἐλπίζομεν,
ὡς ἡ τεκοῦσα τὸν Κτίστην,
ὑπὲρ τῶν ὑμνούντων σε,
πρεσβεύειν πάντοτε.

### Κάθισμα.

Ἦχος δ΄. Ταχὺ προκατάλαβε.

Ἐξόδιον μήνυμα,
ἐκ τῆς ματαίας ζωῆς,
ὁ θύτης Φιλόθεος,
ὁ κατὰ πνεῦμα πατήρ,
προείρηκεν ὅσιε,
σοὶ τῷ ἡτοιμασμένῳ,
Ἀθανάσιε πάτερ·
ὅθεν καὶ ἐγκαρδίως,
τὸν Χριστὸν διὰ τοῦτο,
προσμένων ἐδοξολόγεις,
κλεινὲ ἱερομόναχε.

### Θεοτοκίον. Τῆς ἑορτῆς.

Χριστῷ ἠκολούθησας,
τῷ σῷ Υἱῷ ἐν παντί,
καὶ ὤφθης Πανάμωμε,
τῶν Ἀποστόλων αὐτοῦ,
ἰσχὺς καὶ παράκλησις·
ὅθεν καὶ εὐγνωμόνως,
ἐκ περάτων τοῦ κόσμου,
ἦλθον θεογεννῆτορ,
τὸ σὸν σῶμα κηδεῦσαι,
αἰνοῦντες τῶν σῶν χαρίτων,
τὸ πλῆθος Παναμώμητε.

### ᾨδὴ δ΄. Τοῦ Ὁσίου πρῶτος.

Εἱρμός. Ὁ καθήμενος ἐν δόξῃ.

Νερατζιώτισσα καυχᾶται,
καὶ Ροδόπολις γάννυται,
καὶ Ἀμαρουσίου,
πάτερ ὁ λαὸς ἐπαγάλλεται,
ἐπὶ τῇ θείᾳ σου μνήμῃ Ἀθανάσιε·
σὺ γὰρ γέγονας,
αὐτῶν ποιμὴν θεοδίδακτος.

Ἱερέως ἀμπεχόνην,
ἐπαξίως ἠμφίεσαι,
τῶν πρὸ σοῦ ἁγίων,

φόβον πρὸς Θεὸν καὶ εὐλάβειαν,
ἐπακριβῶς Ἀθανάσιε μιμούμενος,
καὶ ἐτίμησας,
τῶν ἱερέων παράταξιν.

Ἐπιστήμων ἦσο πάτερ,
καὶ ψυχῶν ὁ ἀρχίατρος,
τῶν προσερχομένων,
καὶ ἐξαιτουμένων τὴν ἄφεσιν,
ἀμπλακημάτων ποικίλων Ἀθανάσιε,
καὶ νευρώσεων,
τὴν θεραπείαν καὶ ἴασιν.

Θεοτοκίον.
Ῥῦσαι Δέσποινα Παρθένε,
ἐκ χειρὸς κοσμοκράτορος,
ταῖς σαῖς ἱκεσίαις,
πρὸς τὸν σὸν Υἱὸν τοὺς οἰκέτας σου,
τοὺς προσκυνοῦντας ἐν Μπάλλᾳ τὸ εἰκόνισμα,
ἐν τῇ Μάνδρᾳ σου,
τὸ φωτοφόρον σου Δέσποινα.

Τοῦ Ὁσίου δεύτερος.
Εἱρμός. Εἰσακήκοα Κύριε.

Νικητήριον στέφανον,
κατὰ τῶν παθῶν σου λαβὼν μακάριε,
τοὺς συνόντας σοι ὡδήγησας,
ἀσφαλῶς εἰς τρίβον τὴν σωτήριον.

Σωστικαῖς ἐνεργείαις σου,
ἐν τοῖς χρόνοις μάκαρ φρικτῆς δουλώσεως,
τῆς Ἑλλάδος Ἀθανάσιε,
τοὺς ἐν πείνῃ ὄντας σὺ διέθρεψας.

Ὅλως πάτερ τοὺς πάσχοντας,
ἐκ πτωχείας δοῦλε Χριστοῦ ἠγάπησας,
καθορῶν εἰς ἕνα ἕκαστον,
Κύριον Θεόν σου Ἀθανάσιε.

Θεοτοκίον.
Ὕμνους δέχθητι Πάναγνε,
ἐκ τῶν προσκυνούντων τὸ σὸν εἰκόνισμα,

καὶ παράσχου τὴν εἰρήνευσιν,
ἐκ τῶν λογισμῶν τῆς ἀπογνώσεως.

Ὠδὴ ε΄. Τοῦ Ὁσίου πρῶτος.
Εἰρμός. Ἐξέστη τὰ σύμπαντα.

Ὁλόθυμον βούλησιν,
καὶ ζῆλον ὄντως εὐσχήμονα,
ταπεινοφροσύνην τὴν γνησίαν,
καὶ φλογοφόρον ἀγάπην ἔδειξας,
πρὸς τὸν σὸν Δεσπότην καὶ Θεόν,
διὸ Ἀθανάσιε,
ὡς ἀστὴρ πάτερ ἤστραψας.

Θεῷ εὐηρέστησας,
ἐπὶ γῆς Ἀθανάσιε,
πράττων καθ' ἑκάστην τὴν ἡμέραν,
τὰ ζωηφόρα τούτου ἐντάλματα,
καὶ τῶν μοναστῶν καὶ κοσμικῶν,
τύπος καὶ τὸ πρότυπον,
ἐν τῷ βίῳ γεγένησαι.

Ὑψώθης πανάριστε,
εὐχαῖς σου καὶ ἀσκήσεσι,
πρὸς τὴν κορυφὴν τῶν χαρισμάτων,
τῆς θεοπτίας καὶ τῆς θεώσεως,
ὥσπερ οἱ πρὸ σοῦ συνασκηταί,
πάτερ Ἀθανάσιε,
τῆς σῆς μάνδρας τὸ στήριγμα.

Θεοτοκίον.
Τὴν σὴν θείαν κοίμησιν,
ἐν τῇ Σιὼν Πανάμωμε,
ὁ σεπτὸς χορὸς τῶν Ἀποστόλων,
ἐκ τῶν περάτων ἐλθὼν ἐξύμνησε,
σὲ τὴν ὑπὲρ φύσιν τὸν Υἱόν,
τοῦ Πατρὸς κυήσασαν,
Θεοτόκε ἀπείρανδρε.

Τοῦ Ὁσίου δεύτερος.
Εἰρμός. Φώτισον ἡμᾶς.

Τύραννον ἐχθρόν,
τῆς ψυχῆς σου τὸν φιλόπλουτον,
κατενίκησας πτωχείαν Ἰησοῦ,
ἀγαπήσας ὑπὲρ πάντα Ἀθανάσιε.

Ἡ θεοειδής,
πρὸς τοὺς πένητας ἀγάπη σου,
ἐκ θανάτου τοῦ λιμοῦ ἐν κατοχῇ,
Ἀθανάσιε πανόλβιε ἐῤῥύσατο.

Νῦν ἐν σοὶ ἡμεῖς,
οἱ τιμῶντες σὴν πανήγυριν,
ἐγκαυχώμενοι δεόμεθα τυχεῖν,
τῆς σῆς ῥώμης Ἀθανάσιε καὶ χάριτος.

Θεοτοκίον.
Χάριν εὐρηκώς,
μνημονεύων τῆς σῆς κλήσεως,
καὶ εἰρήνην τῆς καρδίας μου Ἁγνή,
πρὸ σὲ ψάλλω εὐγνωμόνως τὰς αἰνέσεις μου.

Ὠδὴ στ΄. Τοῦ Ὁσίου πρῶτος.
Εἰρμός. Τὴν θείαν ταύτην καὶ πάντιμον.

Ἡσύχως πάτερ παρέδωκας,
εἰς χεῖρας τοῦ Κυρίου τὸ πνεῦμά σου,
καὶ εἰς τὰ μένοντα,
καὶ σταθηρὰ μεταβέβηκας,
πολίτης Παραδείσου,
μάκαρ γενόμενος.

Ναὸς δειχθεὶς θείου Πνεύματος,
εἰς ἕτερον Ναὸν Ἀθανάσιε,
συνελειτούργησας,
τῷ Ἀρχιθύτῃ Δεσπότῃ σου,
ἐν τῇ Σιὼν τῇ ἄνω,
ἱερομόναχε.

Ὑψῶν τὰς χεῖράς σου ὅσιε,
ἐν στάσει προσευχῆς πρὸς τὸν Κύριον,
ὑπὲρ τῶν φίλων σου,
τῶν ἐπαινούντων τὴν κλῆσίν σου,
μὴ διαλίπῃς πάτερ,
ἀξιοτίμητε.

Θεοτοκίον.
Μαρία Μῆτερ τοῦ Κτίσαντος,
τὸ γένος τῶν ἀνθρώπων καὶ ἅπαντα,
τῷ λόγῳ Δέσποινα,
τὰ ὁρατὰ καὶ νοούμενα,
διηνεκῶς προσεύχου,
ὑπὲρ τῶν δούλων σου.

Τοῦ Ὁσίου δεύτερος.
Εἱρμός. Ἱλάσθητί μοι Σωτήρ.

Ἀπαύστως ὡς λειτουργός,
παρακαλεῖς Ἀθανάσιε,
ὑπὲρ τῶν μοναζουσῶν,
τῆς μάνδρας σου ὅσιε,
καὶ τῶν δεομένων σου,
ὅπως τοῦ Βελίαρ,
τὰς ἐπινοίας διαφύγωσι.

Ῥωσθεὶς ἐξ ἄνω κρατεῖς,
τὰ ἀσθενήματα πάνσεπτε,
τῶν ἀδυνάτων πιστῶν,
ὡς γέγραπται ὅσιε·
πατὴρ γὰρ φιλόστοργος,
καὶ πευματοφόρος,
ὤφθης πάτερ Ἀθανάσιε.

Ἰάσας τῆς γυναικός,
τῆς χήρας πάτερ τὰ τραύματα,
τῆς ἀπωλείας υἱοῦ,
αὐτὴν παρεκίνησας,
ἵνα τὸν φονεύσαντα,
συγχωρήσῃ πάτερ,
Ἀθανάσιε πανεύφημε.

Θεοτοκίον.
Νῦν πάντες σεμνοπρεπῶς,
θεοχαρίτωτε Δέσποινα,
πρεσβείαν σου ἰσχυράν,
αἰτοῦντές σου κράτυνον,
ὡς ἔχουσα δύναμιν,
τὴν Ἑλλάδα πᾶσαν,
ἐκ συμπτώσεων τοῦ δράκοντος.

Κοντάκιον.
Ἦχος γ΄. Ἡ Παρθένος σήμερον.

Ἑορτάζει χαίρουσα,
ἐν Ροδοπόλει ἡ ποίμνη,
τὴν ἁγίαν μνήμην σου,
καὶ κομιδὴν σῶν λειψάνων,
βίον γὰρ καὶ τὴν πληθώραν τῶν σῶν σημείων,
βλέποντες οἱ σὲ τιμῶντες δοξολογοῦσι,
Ἀθανάσιε παμμάκαρ,
τὸν σοὶ διδόντα,
Χριστὸν χαρίσματα.

Ὁ Οἶκος.
Κλῆσιν σχὼν ἐκ παιδός,
ὡς οἱ πρὸ σοῦ διαλάμψαντες ὅσιοι,
ἐν προσευχαῖς θεαρέστοις,
καὶ πολλαῖς ἀσκήσεσι πάτερ ἐσχόλαζες.
Εἶτα τὸ σεπτὸν τριβώνιον,
τῶν μονοτρόπων ἐνδυθείς,
καὶ τὴν ἱερὰν τῶν ἱερέων,
ἀμφιασθεὶς στολήν,
ἐν μοναῖς καὶ τῷ κόσμῳ πανόσιε,
παιδαγωγὸς θεῖος,
καὶ κατὰ πνεῦμα πατὴρ ἐχρημάτισας,
μοναζόντων καὶ ἄλλων μερόπων πιστῶν,
ὄργανον γενόμενος,
τοῦ Παρακλήτου ἅγιε.
Ταῦτα πάντα βλέποντες οἱ σὲ τιμῶντες,
Ἀθανάσιε παμμάκαρ δοξολογοῦσι,
τὸν δόντα σοι ταῦτα,
Χριστὸν χαρίσματα.

Συναξάριον.

Τῇ 17ῃ τοῦ μηνὸς Αὐγούστου,
μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν,
Ἀθανασίου τοῦ ἐπιλεγομένου Χαμακιώτου,
τοῦ ἱδρύσαντος ἐν Ῥοδοπόλει Ἀττικῆς,
τὴν ἱερὰν τῆς Φανερωμένης Θεοτόκου Μονῆς.

Στίχ. *Ἀθανάσιον ὁσιοθύτην μέλπω,*
*λίαν εὐαρεστήσαντα τῷ Κυρίῳ.*

Τῇ αὐτῇ ἡμέρᾳ Μνήμην ποιούμεθα καὶ τῆς ἀνακομιδῆς τῶν σεπτῶν αὐτοῦ λειψάνων.

Στίχ. *Κάραν θείαν σὺν τοῖς σεπτοῖς σου ὀστέοις,*
*προσκυνοῦμεν ἐν πίστει τίμιε πάτερ.*

Οὗτος ὁ μακάριος τῆς Ἐκκλησίας πατὴρ ἐγεννήθη ἐν Τουρλάδι Καλαβρύτων λήγοντος τοῦ ιθ΄ αἰῶνος (1891) καὶ ἐκοιμήθη ὑπερμεσοῦντος τοῦ εἰκοστοῦ (1967). Ἐκ μικρᾶς ἡλικίας ἠγάπησε τὴν μοναχικὴν ζωὴν καὶ διήρχετο τὰς ἡμέρας τῆς ζωῆς αὐτοῦ εὐσεβῶς ἐν τῷ Ναῷ καὶ ταῖς πυκναῖς δεήσεσι καὶ προσευχαῖς. Ἐλθὼν εἰς ἡλικίαν ἐκάρη μοναχὸς ἐν τῇ περιακούστῳ Μονῇ τῆς ἁγίας Λαύρας χειροτονηθεὶς ἐν αὐτῇ διάκονος καὶ ἱερεύς. Μετὰ πολλὰ ἔτη ἐξελθὼν ταύτης ὑπηρέτησεν ὡς Ἐφημέριος καὶ Πνευματικὸς ἐν τῇ Ἀττικῇ καὶ δὴ ἐν Ἀμαρουσίῳ ἐν τῷ Ναῷ τῆς Νερατζιωτίσσης. Ἐνταῦθα διεκρίθη ὡς Ἐφημέριος καὶ Πνευματικὸς ὑπηρετῶν τὸν Ὀρθόδοξον λαὸν θαυμαστῶς καὶ συνεπικουρούμενος ὑπὸ τῆς θείας χάριτος πολλοὺς ἤγαγεν εἰς τὴν ὁδὸν τοῦ Κυρίου, ἄλλους ἐθεράπευσεν ἐξ ἀσθενειῶν τῆς ψυχῆς καὶ τοῦ σώματος, πολλοὺς ἠλέησεν ὑλικῶς καὶ ἐν τοῖς χρόνοις τῆς Γερμανικῆς κατοχῆς πλῆθος ὑπ' αὐτοῦ διεσώθη ἐκ τοῦ θανάτου τῆς πείνης. Ἐν τοῖς ἐσχάτοις τοῦ βίου αὐτοῦ χρόνοις ἵδρυσεν ἐν Ροδοπόλει (κοινῶς Μπάλλᾳ) τὴν ἱερὰν Μονὴν Παναγίας τῆς Φανερωμένης Θεοτόκου ἐγκαταστήσας ἐν αὐτῇ μοναχάς. Τὸ ὑπόλοιπον διῆλθεν τῆς ζωῆς αὐτοῦ ἐν ἡσυχίᾳ λατρεύων τὸν Θεὸν νυχθημερόν. Ἐδωρήσατο δὲ αὐτῷ ὁ Κύριος τὸ χάρισμα τῶν σημείων καὶ τῶν θαυμάτων. Ἐτελεύτησεν ἐν ἀσθενείαις ὁσιακῶς. Ἡ ἀνακομιδὴ τῶν τιμίων αὐτοῦ λειψάνων ἐγένετο ἐν τοῖς ὑστέροις ἔτεσιν (τῇ 23ῃ Ὀκτωβρίου 2014) ὑπὸ τοῦ Σεβασμιωτάτου Μητροπολίτου Κηφισίας, Ἀμαρουσίου καὶ Ὠρωποῦ Κυρίλλου καὶ συνεορτάζεται ἡ τιμὴ αὐτῶν μετὰ τῆς μνήμης αὐτοῦ.

Τὰ λοιπὰ ἐκ τοῦ Μηναίου.

Ταῖς αὐτῶν ἁγίαις πρεσβείαις Χριστὲ ὁ Θεὸς ἡμῶν
σῶσον τὰς ψυχὰς ἡμῶν.

Ὠδὴ ζ΄. Κανὼν τοῦ Ὁσίου πρῶτος.
Εἱρμός. Οὐκ ἐλάτρευσαν.

Νέον Ὅσιον,
τῶν παλαιῶν ἰσότιμον,
τὸν Ἀθανάσιον,
ἡ ἐκκλησία τιμᾶ,
αὐτοῦ δὲ τὰ θαύματα,
καὶ βίον ἅγιον,
τὸν πανθαύμαστον,
φαιδρῶς πανηγυρίζουσα,
ἐξαιτεῖται τούτου χάριν.

Ὀλεσίθηρα,
σὲ ἔγνωμεν πανόσιε,
τῇ ἐγκρατείᾳ σου,
καὶ ταῖς πυκναῖς προσευχαῖς·
διὸ καὶ τὸ χάρισμα,
λαβὼν ἰάσεως,
Ἀθανάσιε,
ἐνεργουμένοις γέγονας,
καθαιρέτης πτερνοσκόπου.

Ἱκετήριον,
παράκλησιν ποιούμεθα,
πρὸ τῆς εἰκόνος σου,
τῆς σεβασμίας κλεινέ,
ταῖς σαῖς πρὸς τὸν Κύριον,
πάτερ ἐντεύξεσιν,
ἐξ ἰῶν πολλῶν,
θανατηφόρων λύτρωσαι,
τοὺς φιλοῦντάς σε θεόφρον.

Θεοτοκίον.

Σοὶ Πανάχραντε,
οἱ δοῦλοί σου κραυγάζουσιν,
ἀτύφῳ πνεύματι,

τοὺς βροτοκτόνους ἰούς,
ἀπέλασον τάχιστα,
ἀμάχῳ κράτει σου,
καὶ θεράπευσον,
τὴν τῆς ψυχῆς κατάθλιψιν,
τῶν πληγέντων ἀνηκέστως.

Κανὼν τοῦ Ὁσίου δεύτερος.
Ὁ Εἱρμός. Οἱ ἐκ τῆς Ἰουδαίας.

Ἀκαμάτως συντρέχεις,
τοῖς ἐν περιστάσεσιν Ἀθανάσιε,
καὶ πᾶσι τοῖς τελοῦσιν,
ἐν θλίψει καὶ ὀδύνῃ,
ἐκ πολλῶν παραβάσεων,
καὶ νοσημάτων δεινῶν,
ἀδιακρίτως μάκαρ.

Ἱερά σου ὀστέα,
ἐκ τοῦ τάφου ἐξάγει,
ὡς καὶ τὴν κάραν σου,
χερσὶν ὁ Ἀρχιθύτης,
Χριστοῦ τῆς Ἐκκλησίας,
Κηφισίας ὁ Κύριλλος,
καὶ ἐγκαρδίως ὑμνεῖ,
αὐτῶν τὴν θείαν χάριν.

Τοὺς σοφοὺς ἐν τῷ κόσμῳ,
καὶ ἀνοήτους πάτερ πολλοὺς ἠλέησας,
ὡς ὀφειλέτης πάντων,
κατὰ τοῦ Παύλου λόγον,
τὸν φιλάνθρωπον ὅσιε·
διὸ Χριστοῦ μιμητής,
τοῖς μέροψιν ἐδείχθης.

Θεοτοκίον.
Ὁ χορὸς τῶν ἀγγέλων,
κατεπλάγη Παρθένε ἐν τῇ κοιμήσει τῇ σῇ,
ὁρῶντες τὸν Δεσπότην,
βαστάζοντα ἐν κόλποις,
τὴν ψυχήν σου Ἀμόλυντε,
σεμνοπρεπῶς ὡς Υἱός,
πρὸς τὴν αὐτοῦ μητέρα.

## ᾨδὴ η΄. Τοῦ Ὁσίου πρῶτος.

Εἱρμός. Παῖδας Εὐαγεῖς.

Τύπῳ τοῦ Σταυροῦ σὺν τῇ εὐχῇ σου,
τὸ ὕδωρ ἐκ τῆς πηγῆς ἐκ νέου ἔβλυσεν,
πάτερ Ἀθανάσιε,
σὺ γὰρ μετὰ θάνατον,
εὐεργετεῖς τοὺς ψάλλοντας,
ἐν πίστει ἅγιε·
τὸν Κύριον ὑμνεῖτε τὰ ἔργα,
καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Ἴαμα ὀστέα σου παρέχει,
νοσοῦσι τοῖς προσκυνοῦσι μετὰ πίστεως,
ταῦτα Ἀθανάσιε,
μέλη δὲ κραυγάζουσι,
τῷ δόντι μετὰ θάνατον,
θαυμάτων χάρισμα,
σωμάτων καὶ ψυχῶν θεραπείας,
σοὶ τῷ δεομένῳ,
ὑπὲρ ἡμῶν παμμάκαρ.

Μνήσθητι ὡς ἔχων παῤῥησίαν,
τοῦ πλήθους τῶν ἀλγουμένων ἐκ τῆς θλίψεως,
φοβιῶν καὶ πάρεχε,
ἄκος ταῖς πρεσβείαις σου,
τούτοις τοῖς κραυγάζουσι,
τὸν αἶνον ὅσιε·
τὸν Κύριον ὑμνεῖτε τὰ ἔργα,
καὶ ὑπερυψοῦτε,
εἰς πάντας τοὺς αἰῶνας.

Θεοτοκίον.

Ὥσπερ βρύσις Ἄχραντε καὶ ῥεῦμα,
πηγάζεις τοῖς προσκυνοῦσι μετὰ πίστεως,
τὴν σεπτὴν εἰκόνα σου,
καὶ τὴν σὴν ἐμφέρειαν,
τὴν γλυκυτάτην βλέπουσι,
καὶ πάντες ψάλλουσι·
τὸν Κύριον ὑμνεῖτε τὰ ἔργα,
καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

## Κανὼν τοῦ Ὁσίου δεύτερος.

Εἱρμός. Τὸν Βασιλέα.

Ὑπὲρ τῆς μάνδρας,
τῆς εὐαγοῦς σου μὴ παύσῃ,
Ἀθανάσιε πρεσβεύων ταῖς λιταῖς σου,
ἵνα ἐκ μανίας,
ῥυσθῇ τοῦ ἀντιδίκου.

Μὴ διαλίπῃς,
τὰς μοναζούσας φυλάττων,
τῆς μονῆς σου ἐν τῇ Μπάλλᾳ θεοφόρε,
τὰ πρὸς ζῆν κατ' ἄμφω,
διδοὺς αὐταῖς θεόφρον.

Ἀπὸ σκανδάλων,
καὶ κακοτρόπων ἀνθρώπων,
περιφρούρησον μοναζουσῶν χορείαν,
τὴν ἀεὶ τιμῶσαν,
τὴν σὴν ἁγίαν μνήμην.

Ἴασαι Κόρη,
τῇ μητρικῇ σου πρεσβείᾳ,
λογισμοὺς καὶ ἐννοήματα καρδίας,
τὰ δυσώδη θέλω,
Πανάμωμε Παρθένε.

## ᾨδὴ θ΄. Τοῦ Ὁσίου πρῶτος.

Εἱρμός. Ἅπας γηγενής.

Ἵνα τοῦ ἐχθροῦ,
ὀφρὺν τὴν μισόθεον,
καὶ τὴν ἀναίδειαν,
πάτερ Ἀθανάσιε,
κατασυντρίψῃς,
τὸ θεῖον ἔνδυμα,
ἀμφιασθεὶς ὡς ἄγγελος,
ἐν γῇ ἐβίωσας,
καὶ ὁ τύπος,
τοῦ Χριστοῦ γεγένησαι,
τοῖς συνοῦσί σοι τέκνοις ἀοίδιμε.

Ὥσπερ ἰατρός,
ὁμοῦ καὶ διδάσκαλος,
πατὴρ φιλόστοργος,
ὁδηγὸς θεόσοφος,
καὶ θύτης πάτερ ὁ συμπαθέστατος,
ὁ ἐλεήμων ἅπασι τοῖς σοὶ προστρέχουσιν,
ἀνεδείχθης,
ἐν ἐσχάτοις ἔτεσι,
τοῦ Χριστοῦ ἀσκητὰ Ἀθανάσιε.

Ἡ σεπτὴ Μονή,
ἐν Μπάλλᾳ ἀγάλλεται,
καὶ χαίρει ὅσιε,
τὴν σεμνὴν ἐπέτειον,
ἐπιτελοῦσα τὴν σὴν πανόλβιε,
καὶ συμφρονοῦσα ἅπασα,
θεοχαρίτωτε,
Ἐκκλησία,
γάννυται τὰ ᾄσματα,
καὶ τὰ μέλη τὰ σὰ ἀναπέμπουσα.

Θεοτοκίον.

Λύτρωσαι ἡμῶν,
πατρίδα Πανάμωμε,
Ἐλευθερώτρια,
τῷ σῷ κράτει πάντοτε,
ἐκ τῶν τῆς Ἄγαρ κακῶν καὶ θλίψεων·
ὡς γὰρ θηρία τρέχουσιν,
ὄντως ἀνήμερα,
ἀπωλέσαι γένος τὸ ἡμέτερον,
τοῦ Υἱοῦ σου βαστάζον τὸ ὄνομα.

## Κανὼν τοῦ Ὁσίου δεύτερος.

Εἱρμός. Κυρίως Θεοτόκον.

Ἴασαί με ἐθέλω,
ἐκ τῶν ἁμαρτάδων,
ἱκετηρίαις ταῖς σαῖς Ἀθανάσιε·
σὺ γὰρ πολλοὺς ἐλυτρώσω,
ἐκ τῆς κολάσεως.

Ὡσεὶ Θεόφρον σκέπην,
τὴν σεπτὴν μονήν σου,
ἐν Ῥοδοπόλει ἀεὶ περισκέπαζε,
ὅπως σωθῇ ἐξ ὀνύχων του πολεμήτορος.

Ἡδέως τοὺς σοὺς ὕμνους,
ἔπλεξα ὁ τάλας,
ἐπιζητῶν τὴν ἰσχύν σου πανόσιε,
ὡς ἂν μετάνοιαν κτήσω ὄντως σωτήριον.

Θεοτοκίον.

Λαῶν τῶν Ὀρθοδόξων,
καὶ Ἑλλάδος πάσης,
καὶ Δεσποτείας Χριστοῦ τὸ ἐγκαύχημα,
καὶ φυλακτήριον ὤφθης,
Κόρη Πανάμωμε.

Ἐξαποστειλάριον.

Ἦχος β΄. Τοῖς μαθηταῖς συνέλθωμεν.

Ἐπὶ τῆς γῆς ὡς ἄγγελος,
Ἀθανάσιε ὤφθης,
τῇ ταπεινώσει ὅσιε,
καὶ ἀσκήσεσι πλείσταις·
διὸ βοῶμέν σοι χαῖρε,
μοναζόντων τὸ κλέος,
χαῖρε ταμεῖον χρύσεον,
τῆς ἀγάπης Κυρίου,
πρὸς τοὺς πτωχούς,
καὶ πατὴρ ἐν Πνεύματι τῶν μερόπων,
ζητούντων τὴν συγχώρησιν,
ψυχικῶν ἁμαρτάδων.

Θεοτοκίον. Τῆς ἑορτῆς.

Ὕμνον χαρᾶς σοι ᾄδομεν,
τῇ Μητρὶ τοῦ Κυρίου,
καὶ γεγηθότες μέλπομεν,
τὸ ἐξόδιον ᾆσμα,
τῆς ἀπὸ γῆς πρὸς τὰς ἄνω,
μεταστάσεως Μῆτερ·
διὸ ἡμᾶς βοήθησον,

ὅπως εὕρωμεν χάριν ταῖς σαῖς λιταῖς,
καὶ χαρὰν καὶ λύσιν τῶν ὀφλημάτων,
καὶ λογισμῶν εἰρήνευσιν,
Θεοτόκε Παρθένε.

Εἰς τοὺς Αἴνους ἱστῶμεν στίχους δ΄
καὶ ψάλλομεν τὰ ἑξῆς Προσόμοια.

Ἦχος πλ.δ΄. Ὢ τοῦ παραδόξου θαύματος.

Πάτερ σεμνὲ Ἀθανάσιε,
ἐξ ἡλικίας μικρᾶς,
τὸ σὸν ὄμμα ἐστήριξας,
πρὸς τὰ μὴ φθειρόμενα,
θεολήπτῳ φρονήματι,
καὶ ἀγαπήσας Χριστὸν πανόσιε,
πρὸς τὸν μονότροπον δρόμον ὥδευσας,
ἕως θανάτου σου·
διό σε ἠξίωσε,
πολλῶν τιμῶν,
ὁ τῶν ὅλων Κύριος,
θεομακάριστε.

Πάτερ σοφὲ Ἀθανάσιε,
ταῖς συμβουλίαις ταῖς σαῖς,
τὰ σὰ τέκνα ἐφώτισας,
ὡς ἀλείπτης ἄριστος,
καὶ ἀνὴρ θεοδίδακτος,
τηρεῖν ἀμέμπτως Χριστοῦ διδάγματα,
καὶ τὰ ἐντάλματα τὰ σωτήρια·
διὸ καὶ ἔσωσας,
ἐκ θανάτου ἅγιε πνευματικοῦ,
πάντας τοὺς ἐθέλοντας,
σωθῆναι ὅσιε.

Πάτερ κλεινὲ Ἀθανάσιε,
τῶν σῶν λειψάνων σορός,
καὶ ἡ πάνσεπτος κάρα σου,
ἰατρείας χάρισμα,
τοῖς νοσοῦσι παρέχουσι,
καὶ ἀλγουμένοις ὑπὸ τῶν θλίψεων,
χαρὰν ὁμοῦ τε καὶ ἀγαλλίασιν,

πᾶσι διδόασι,
σὺ γὰρ ὤφθης ὅσιε θαυματουργός,
ἐν ἐσχάτοις ἔτεσι,
τῆς καθ᾽ ἡμᾶς γενεᾶς.

Πάτερ λαμπρὲ Ἀθανάσιε,
τὴν ἱδρυθεῖσαν Μονήν,
ὑπὸ σοῦ δυσωπείαις σου,
μὴ ἐλλείπῃς πάντοτε,
προστατεύων θεόληπτε,
καὶ τὴν σεμνὴν συνοδίαν φύλαττε,
ἐκ κακουργίας τοῦ πολεμήτορος,
ἵνα τὴν μνήμην σου,
τὴν κατ' ἔτος μέλπωσι περιχαρῶς,
καὶ ἐγκωμιάζωσι,
τὰ σὰ θαυμάσια.

Δόξα. Ἦχος πλ.α΄.

Πάτερ πανόλβιε,
ἐν ταῖς μοναῖς τῶν ὁσίων κατοικῶν,
καὶ τῶν ἀγγέλων ἀντίφωνον,
ἐν τῇ δοξολογίᾳ τοῦ Δεσπότου ὑπάρχων,
καὶ παῤῥησίαν μεγίστην εὑρών,
μὴ ὀκνήσῃς δεόμενος ἐκτενῶς,
ὑπὲρ τῆς πατρίδος,
ὑπὲρ τῆς ἁγίας σου μάνδρας,
ὑπὲρ μοναστῶν καὶ κοσμικῶν σου τέκνων,
ὑπὲρ τῶν ἐκζητούντων τὴν σὴν ἀντίληψιν,
καὶ ὑπὲρ πάντων τῶν σὲ ὑμνούντων,
ὅπως εὕρωσιν ἕκαστος,
ἱλασμὸν καὶ τὸ μέγα ἔλεος.

Καὶ νῦν. Τῆς ἑορτῆς.

Δοξολογία μεγάλη
καὶ Ἀπόλυσις.

# ΕΙΣ ΤΗΝ ΛΕΙΤΟΥΡΓΙΑΝ

Τὰ Τυπικὰ καὶ οἱ Μακαρισμοί
(ἐκ τοῦ κανόνος τοῦ Ὁσίου ἡ γ΄ καὶ στ΄ ᾠδή).

Ἀπόστολος καὶ Εὐαγγέλιον τοῦ Ἁγίου Ἀντωνίου.

Κοινωνικόν. Εἰς μνημόσυνον αἰώνιον.

Μεγαλυνάριον.

Χαίροις τῶν ὁσίων ὁ μιμητής,
τῆς Μονῆς ἐν Μπάλλᾳ,
θεοφώτιστος ἱδρυτής,
χαίροις Ὀρθοδόξων,
ὁ ἀπλανὴς διδάχος,
καὶ θύτης θεορρῆμον,
ὦ Ἀθανάσιε.

# ΠΑΡΑΚΛΗΤΙΚΟΣ ΚΑΝΩΝ
## ΕΙΣ ΤΟΝ ΟΣΙΟΝ ΑΘΑΝΑΣΙΟΝ ΤΟΝ ΧΑΜΑΚΙΩΤΗΝ

Ποίημα τοῦ Μητροπολίτου Ἐδέσσης κ. ΙΩΗΛ

Εὐλογήσαντος τοῦ Ἱερέως,
τὸ Κύριε εἰσάκουσον, τὸ Θεὸς Κύριος
καὶ τὸ ἑξῆς τοῦ Ἁγίου.

Ἦχος δ΄. Ὁ Ὑψωθεὶς ἐν τῷ Σταυρῷ.

Νερατζιωτίσσης τῆς ἁγίας μονῆς σου,
ὁ ἐφημέριος ὁμοῦ καὶ διδάχος,
καὶ πρεσβευτὴς ὑπῆρξας Ἀθανάσιε,
νῦν δὲ ἐν ταῖς τάξεσι,
συναφθεὶς τῶν ὁσίων,
ἀπαύστως ἱκέτευε,
τῷ Υἱῷ τῆς Παρθένου,
χορηγηθῆναι πᾶσι τοῖς πιστοῖς,
τὴν ὑγιείαν,
ψυχῆς τε καὶ σώματος.

Θεοτοκίον.

Οὐ σιωπήσομέν ποτε, Θεοτόκε,
τὰς δυναστείας σου λαλεῖν οἱ ἀνάξιοι·
εἰμὴ γὰρ σὺ προΐστασο πρεσβεύουσα,
τίς ἡμᾶς ἐῤῥύσατο ἐκ τοσούτων κινδύνων;
Τίς δὲ διεφύλαξεν ἕως νῦν ἐλευθέρους;
Οὐκ ἀποστῶμεν Δέσποινα ἐκ σοῦ,
σοὺς γὰρ δούλους σῴζεις ἀεί,
ἐκ παντοίων δεινῶν.

Ὁ Ν΄ ψαλμὸς καὶ ὁ Κανὼν οὗ ἡ ἀκροστιχίς.
*«Ἀθανάσιε δός μοι ὑγείαν καὶ χάριν. Ἰωήλ.»*

Ὠδὴ α΄. Ἦχος πλ.δ΄. Ὑγρὰν διοδεύσας.

Ἀθάνατον ἔχων διαμονήν,
ὁρᾷς καθ᾽ ἑκάστην,
ἐν τῷ θρόνῳ τὸν Πλαστουργόν,
ὃν μὴ διαλίπῃς ἱκετεύων,
ὑπὲρ ἡμῶν,
Ἀθανάσιε ὅσιε.

Θεοῦ συνεργείᾳ ἀπαλλαγείς,
κακῶν ἐθισμάτων,
ἐκ νεότητος ἀσκητά,
διδάσκαλος ὤφθης Ἐκκλησίας,
διὸ λιταῖς σου,
ἡμᾶς διαφύλαξον.

Ἀγήρω ἐκέρδισας τὴν ζωήν,
ἀσκήσεσι πάτερ,
ταῖς νηστείαις σου καὶ εὐχαῖς,
διὸ τὴν μονήν σου καθοδήγει,
εἰς σωτηρίους νομάς,
Ἀθανάσιε.

Θεοτοκίον.

Νῦν Δέσποινα Μῆτερ ἀντιβολῶ,
ὡς ἔσχατος πάντων,
ἐν εἰκόνι σου τῇ σεπτῇ,
μὴ παύσῃ σκεπάζουσα ἀπαύστως,
τὴν σὴν Μονὴν ἐκ παγίδων,
τοῦ ὄφεως.

Ὠδὴ γ΄. Οὐρανίας ἀψῖδος.

Ἀμπεχόνην τοῦ Κλήρου,
ἀμφιασθεὶς ὅσιε,
τὰς ἱερουργίας ἐτέλεις,
ὡς ἄλλος ἄγγελος·
διὸ καὶ πρόφθασον,
τῇ σῇ δυνάμει ὀρθῶσαι,

τοὺς πεσόντας φίλους σου,
ἐν λάκκῳ θλίψεων.

Στεφηφόρος εἰσῆλθες,
ἐν ταῖς σκηναῖς ὅσιε,
τῶν ἁγιωτάτων πατέρων,
τῶν ὁμοήθων σοι,
μεθ᾽ ὧν ἱκέτευε,
ἀδιαλείπτως τηρῆσαι,
πάντας τοὺς τιμῶντάς σε,
Θεοῦ τὸ θέλημα.

Ἰατρὸς τῶν νοσούντων,
ἀῤῥωστιῶν σώματος,
καὶ Πνευματικὸς θεοφόρος,
ψυχῶν πανεύφημε,
φανεὶς βοήθησον,
ἡμῖν τῷ κράτει σου πᾶσι,
ἵνα Ἀθανάσιε,
εὐθυπορήσωμεν.

Θεοτοκίον.

Εὐσεβούντων τὸ θάρσος,
τῶν ταπεινῶν στήριγμα,
καὶ ἀπηλπισμένων δειχθεῖσα,
τὸ παραμύθιον,
ἡμᾶς ἀπάλλαξον,
Φανερωμένη Παρθένε,
ἐξ ἰῶν ἀλάστορος,
τῇ ἀντιλήψει σου.

Διάσωσον ἀπὸ τοῦ ἄλγους,
ποικίλων ἀῤῥωστημάτων,
τοὺς αἰτοῦντας τὴν σὴν ἀλκὴν Ἀθανάσιε,
ἵνα τιμῶσι τὴν χάριν σου,
θεοφόρε.

Ἐπίβλεψον,
ἐν εὐμενείᾳ πανύμνητε Θεοτόκε,
ἐπὶ τὴν ἐμὴν χαλεπὴν τοῦ σώματος κάκωσιν,
καὶ ἴασαι τῆς ψυχῆς μου τὸ ἄλγος.

## Αἴτησις καὶ τὸ Κάθισμα.

Ἦχος β΄. Πρεσβεία θερμή.

Τῆς Μάνδρας τῆς σῆς,
φρουρὸς ἀκαταμάχητος,
πιστῶν ποδηγός,
μοναζουσῶν τὸ καύχημα,
ἅγιε Ἀθανάσιε,
Ἀμαρουσίου πόλεως σέμνωμα,
ἐπεγνώσθης πάτερ ἀγαθέ,
διὸ καὶ ἡμῖν μάκαρ βοήθησον.

Ὠδὴ δ΄. Εἰσακήκοα Κύριε.

Διανοίας τὴν σκότασιν,
σκέδασον παμμάκαρ,
ταῖς ἐνεργείαις σου,
καὶ παράσχου Ἀθανάσιε,
φωτισμὸν νοός μου,
ὡς φιλάνθρωπος.

Ὀλεσίθηρ γενόμενος,
παιδιόθεν ἅγιε Ἀθανάσιε,
τῶν ποικίλων ἁμαρτάδων σου,
πάντα τὰ ἐντός μου,
πάθη στόρεσον.

Σωστικαῖς ἱκεσίαις σου,
πρὸς τὸν Ἀρχιποίμενα Ἀθανάσιε,
τὴν εἰρήνην διασφάλισον,
τῆς μικρᾶς σου ποίμνης,
πάτερ ὅσιε.

Θεοτοκίον.

Μαριὰμ Ἀειπάρθενε,
τὸν σεπτόν σου τόκον ἀεὶ λατρεύομεν,
ὃν δυσώπησον πρεσβείαις σου,
ἵνα τοῦ βελίαρ πλόκους λύσωμεν.

Ὠδὴ ε΄. Φώτισον ἡμᾶς.

Ὅλως τῷ Θεῷ,
ἀνετέθης Ἀθανάσιε,
διὸ πάντας τοὺς ἱκέτας σου ἀεί,
μὴ ἐάσῃς ποδηγῶν,
πρὸς τὰ οὐράνια.

Ἴσθι μεθ΄ ἡμῶν,
καὶ γενοῦ ταῖς ἱκεσίαις σου,
ἀντιλήπτωρ ἐν ταῖς θλίψεσιν ἡμῶν,
ὡς οἰκτίρμων καὶ προστάτης,
Ἀθανάσιε.

Ὕψωσον σεπτέ,
καὶ τὰς δύο θείας χεῖράς σου,
πρὸς τὸν Εὔσπλαχνον Δεσπότην καὶ Θεόν,
ὑπὲρ πάντων τῶν πενήτων,
Ἀθανάσιε.

Θεοτοκίον.

Γῆ καὶ οὐρανός,
ἀνυμνεῖ σε Ἀειπάρθενε,
καὶ σοὶ ψάλλει,
τὴν ἱκέσιον ᾠδήν,
ἵνα παύσῃς τῆς ψυχῆς ἡμῶν,
τὰ τραύματα.

῾Ὠδὴ στ΄. Τὴν δέησιν.

Ἐπίβλεψον,
εὐμενῶς πανόσιε,
ἐπὶ πάντας τοὺς οἰκοῦντας τοὺς τόπους,
Ἀμαρουσίου Τουρλάδος καὶ Λαύρας,
τοὺς σὲ ξενίσαντας πάτερ καὶ δώρησαι,
τοῖς σὲ ὑμνοῦσιν ἐκ ψυχῆς,
εἰρηναίαν ζωὴν Ἀθανάσιε.

Ἰάσεων,
πολλαπλῶν ὁ αἴτιος,
τῆς ψυχῆς καὶ πολυμόχθου σαρκός μου,
θεοχαρίτωτε ἅγιε γέρον,

ἐν ταῖς ἐσχάταις ἡμέραις γεγένησαι·
διὸ μὴ παύσῃς χορηγῶν,
τοῖς νοσοῦσι βροτοῖς τὰ ἰάματα.

Ἀΰλων,
τῶν νοερῶν ὁμόηθος,
ὁ βιώσας ὡσεὶ ἄγγελος ὤφθης,
σὺ γὰρ ἐδέχθης ἐν κλίνῃ θανάτου,
ὑπὸ ἀγγέλου τὰ δῶρα τῆς χάριτος·
διὸ μὴ ὄκνει καὶ ἡμῶν,
ἐπιστηρίζων τὸν νοῦν πρὸς τὰ κρείττονα.

Θεοτοκίον.

Νενόσηκε,
ἡ ψυχή μου Πάναγνε,
λογισμοῖς τοῦ ἀντιχρίστου βελίαρ,
καὶ ὀδυνῶμαι βαρέως ὁ τάλας,
καὶ πρὸς τὴν χάριν σου στρέφω τὰ ὄμματα,
σῶσον τὸν δοῦλόν σου βοῶν,
ἐκ τοῦ σατὰν ἐπηρείας Πανάχραντε.

Διάσωσον ἀπὸ τοῦ ἄλγους,
ποικίλων ἀῤῥωστημάτων,
τοὺς αἰτοῦντας τὴν σὴν ἀλκὴν Ἀθανάσιε,
ἵνα τιμῶσι τὴν χάριν σου,
Θεοφόρε.

Ἄχραντε,
ἡ διὰ λόγου τὸν Λόγον ἀνερμηνεύτως,
ἐπ' ἐσχάτων τῶν ἡμερῶν τεκοῦσα δυσώπησον,
ὡς ἔχουσα μητρικὴν παῤῥησίαν.

Αἴτησις καὶ τὸ Κοντάκιον.

Ἦχος β΄. Τοῖς τῶν αἱμάτων σου.

Ἐν Ῥοδοπόλει διέλαμψας ἅγιε,
ἐν τῷ ἡσύχῳ σου βίῳ καὶ ἤθει σου,
παιδαγωγῶν τοὺς συνόντας σοι κάλλιστα,
καὶ θεραπεύων κατ᾽ ἄμφω νοσήματα,
διό σε τιμῶ Ἀθανάσιε.

Προκείμενον.

Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς Ἁγίοις αὐτοῦ.

Στίχ. *Τοῖς Ἁγίοις τοῖς ἐν τῇ γῇ αὐτοῦ.*

Εὐαγγέλιον τὸ ἐν τῷ Ὄρθρῳ
τοῦ Ἁγίου Σάββα.

Ἐκ τοῦ κατὰ Λουκᾶν
(στ΄ 17 – 23)

Τῷ καιρῷ ἐκείνῳ, ἔστη ὁ Ἰησοῦς ἐπὶ τόπου πεδινοῦ, καὶ ὄχλος μαθητῶν αὐτοῦ, καὶ πλῆθος πολὺ τοῦ λαοῦ ἀπὸ πάσης τῆς Ἰουδαίας καὶ Ἱερουσαλὴμ καὶ τῆς παραλίου Τύρου καὶ Σιδῶνος, οἳ ἦλθον ἀκοῦσαι αὐτοῦ καὶ ἰαθῆναι ἀπὸ τῶν νόσων αὐτῶν, καὶ οἱ ὀχλούμενοι ἀπὸ πνευμάτων ἀκαθάρτων, καὶ ἐθεραπεύοντο· καὶ πᾶς ὁ ὄχλος ἐζήτει ἅπτεσθαι αὐτοῦ, ὅτι δύναμις παρ' αὐτοῦ ἐξήρχετο καὶ ἰᾶτο πάντας. Καὶ αὐτὸς ἐπάρας τοὺς ὀφθαλμοὺς αὐτοῦ εἰς τοὺς μαθητὰς αὐτοῦ ἔλεγε· Μακάριοι οἱ πτωχοί, ὅτι ὑμετέρα ἐστὶν ἡ βασιλεία τοῦ Θεοῦ. μακάριοι οἱ πεινῶντες νῦν, ὅτι χορτασθήσεσθε. μακάριοι οἱ κλαίοντες νῦν, ὅτι γελάσετε. μακάριοί ἐστε ὅταν μισήσωσιν ὑμᾶς οἱ ἄνθρωποι, καὶ ὅταν ἀφορίσωσιν ὑμᾶς καὶ ὀνειδίσωσι καὶ ἐκβάλωσι τὸ ὄνομα ὑμῶν ὡς πονηρὸν ἕνεκα τοῦ υἱοῦ τοῦ ἀνθρώπου. Χαίρετε ἐν ἐκείνῃ τῇ ἡμέρᾳ καὶ σκιρτήσατε· ἰδοὺ γὰρ ὁ μισθὸς ὑμῶν πολὺς ἐν τῷ οὐρανῷ.

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ Ἁγίῳ Πνεύματι.

Ταῖς τοῦ σοῦ ὁσίου πρεσβείαις Ἐλεῆμον,
ἐξάλειψον τὰ πλήθη,
τῶν ἐμῶν ἐγκλημάτων.

Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ταῖς τῆς Θεοτόκου πρεσβείαις Ἐλεῆμον,
ἐξάλειψον τὰ πλήθη,
τῶν ἐμῶν ἐγκλημάτων.

Προσόμοιον.

Ἦχος πλ.β΄. Ὅλην ἀποθέμενοι.

Στίχ. Ἐλέησόν με ὁ Θεός.

Δένδρον τὸ πολύκαρπον,
τοῦ οἰκισμοῦ τῆς Τουρλάδος,
καὶ τῆς Λαύρας καύχημα,
καὶ δοχεῖον χάριτος Ἀθανάσιε,
ὁ ποιμὴν ὁ ἄριστος,
τοῦ Ἀμαρουσίου,
καὶ μονῆς σου ὁ σεπτὸς πατήρ,
καὶ Ροδοπόλεως,
λύχνος ὁ πολύφωτος ὅσιε,
στενόντων μέγα στήριγμα,
καὶ ἁμαρτανόντων διόρθωσις,
γέγονας θεόφρον,
διό σε ἱκτεύομεν στεῤῥῶς,
τῇ σῇ δεήσει βοήθησον,
πᾶσι τοῖς τιμῶσί σε.

Ὁ ἱερεύς.
Σῶσον ὁ Θεὸς τὸν λαόν σου.

Ὠδὴ ζ΄. Οἱ ἐκ τῆς Ἰουδαίας.

Κρατύνεται ἡ ποίμνη,
τῆς σῆς Φανερωμένης,
μονῆς κατέχουσα,
ὀστᾶ σου ζωηφόρα,
τὰ ὄντως μυροδόχα,
καὶ ἰάσεων πρόξενα·
διὸ μὴ παύσῃς ἡμᾶς,
καθαγιάζων τούτοις.

Ἀκηδίαν νοός μου,
λογισμοὺς τῆς πορνείας,
φιλοπλουτίας ῥοπήν,
τὴν ὑψηλοφροσύνην,
καὶ πᾶσαν ἁμαρτίαν,
ταῖς λιταῖς σου ἐκδίωξον,
ἐκ τῆς καρδίας ἡμῶν,
τῶν σὲ παρακαλούντων.

Ἰατὴρ ἀῤῥωστούντων,
Ἀθανάσιε πάτερ,
Φανερωμένης μονῆς,
ἐγένου ἐπ᾽ ἐσχάτων,
τῇ χάριτι Κυρίου,
διὸ πάντες σοὶ λέγομεν,
τὰς νόσους τὰς χαλεπάς,
παῦσον τῶν ἱκετῶν σου.

Θεοτοκίον.

Χαρὰ τῶν Ὀρθοδόξων,
ἡ εἰκών σου Παρθένε,
Νερατζιωτίσσης μονῆς,
ὑπάρχουσα φωτίζει,
τοὺς προσερχομένους,
τὴν σὴν χεῖρα ἀσπάσασθαι,
ἣν χαρμονὴν καὶ ἡμῖν,
δώρησαι Θεοτόκε.

Ὠδὴ η΄. Τὸν βασιλέα.

Ἁγίων Πάτερ,
ποιμαντικὴν προτιμήσας,
νυχθημέρως τοὺς πιστοὺς ἐξωμολόγεις·
ὅθεν ταῖς λιταῖς σου,
ἡμᾶς σοφὲ βοήθει.

Ῥιζοτομῆσαι,
τὰ ζιζάνια πάντα,
τῆς ψυχῆς μου Ἀθανάσιε ἐθέλω·
διὰ τοῦτο ταῦτα,
ἀνάσπασον λιταῖς σου.

Ἰσχύσας πάτερ,
τῶν παθῶν καὶ δαιμόνων,
δέομαί σου ταῖς πολλαῖς ἱκετηρίαις,
τὴν σεπτὴν Μονήν σου,
ἀλώβητον τηρῆσαι.

Θεοτοκίον.

Νῦν ἐν τῇ Μπάλλᾳ,
προσκυνοῦσιν ἐν πίστει,

τὴν εἰκόνα σου Παρθένε Θεοτόκε,
καὶ αἰτοῦσι πάντες,
τὴν σκέπην σου τὴν θείαν.

Ὠδὴ θ΄. Κυρίως Θεοτόκον.

Ἰάσεις ἀνιάτων,
ἡ θήκη τῶν ὀστῶν σου,
ἐπιτελεῖ τῇ δυνάμει τοῦ Πνεύματος·
διὸ ἡμῖν τοῖς νοσοῦσι,
τὸ ἄκος δώρησαι.

Ὡς ἄγγελος Κυρίου,
βιώσας ἐν τῷ κόσμῳ,
συμπαραστάτης γενοῦ Ἀθανάσιε,
τοῖς κεκμηκόσι βαρέως,
φοβίαις ὅσιε.

Ἡ Μάνδρα σου γεραίρει,
σὺν τῷ Ἀμαρουσίῳ,
τὰ πολλαπλᾶ σου χαρίσματα ἅγιε,
καὶ ταπεινῶς ἐξαιτεῖται,
τὴν σὴν ἀντίληψιν.

Θεοτοκίον.

Λοιμῷ ἁμαρτημάτων,
τοῦ ἀνθρωποκτόνου,
ὁ δυστυχὴς κατατήκομαι Δέσποινα,
καὶ προσδοκῶ ἰατρείαν,
ψυχῆς καὶ σώματος.

Τὸ Ἄξιόν ἐστι καὶ τὰ Μεγαλυνάρια.

Χαίροις τῆς Τουρλάδος γόνος λαμπρός,
καὶ Ἁγίας Λαύρας,
θρέμμα πάτερ τὸ λογικόν,
Χαίροις ὁ ποιμάντωρ,
Ἀμαρουσίου θεῖος,
καὶ τῆς Μονῆς σου κτήτωρ,
ὦ Ἀθανάσιε.

Ἔχον τὰ ὀστέα σου τὰ σεπτά,
τὸ κοινόβιόν σου,
Ἀθανάσιε ἱερέ,
τὸν κακοῦργον ὄφιν,
τροποῦνται καὶ τὰς τούτου,
ἐνέδρας καὶ παγίδας,
ἀποκαλύπτουσι.

Πάντας τοὺς ἐλθόντας εἰς ἑαυτόν,
καὶ μετανοοῦντας,
ἐκ καρδίας ποδηγετεῖς,
ἱεροῖς σου λόγοις,
καὶ σῷ ἀμέμπτῳ βίῳ,
ἵνα τῆς μετανοίας,
ὁδὸν πορεύσωνται.

Χαίροις τῶν πενήτων ὁ ἀρωγός,
καὶ τῶν ἀποκλήρων,
εὐσυμπάθητος ἀδελφός,
τῆς ἐλεημοσύνης,
συνέμπορος καὶ φίλος,
ἀθάνατος δὲ πρέσβυς,
ὦ Ἀθανάσιε.

Βλέψον εὐμενέστατα ἐφ' ἡμᾶς,
καὶ ἴδε τὴν ποίμνην,
τῶν προβάτων τῶν λογικῶν,
τῆς Φανερωμένης,
καὶ δὸς ταῖς μοναζούσαις,
τὴν χάριν σου πλουσίαν,
θεοχαρίτωτε.

Πάτερ Ἀθανάσιε θαυμαστέ,
ἱερέων κόσμε,
μοναζόντων ὁ ὁδηγός,
τῆς Νερατζιωτίσσης,
ἀσφάλεια καὶ τεῖχος,
πρεσβείαις σου στηρίζων,
μὴ παύσῃς ἅπαντας.

Πᾶσαι τῶν Ἀγγέλων αἱ στρατιαί,
Πρόδρομε Κυρίου,
Ἀποστόλων ἡ δωδεκάς,
οἱ Ἅγιοι Πάντες μετὰ τῆς Θεοτόκου,
ποιήσατε πρεσβείαν,
είς τὸ σωθῆναι ἡμᾶς.

Τὸ Τρισάγιον καὶ τὸ Ἀπολυτίκιον.

Ἦχος γ΄. Τὴν ὡραιότητα.

Τὸν εὐσυμπάθητον Ἱερομόναχον,
τὸν Ἀθανάσιον ὕμνοις τιμήσωμεν,
οὗτος γὰρ ὤφθη ποδηγός,
Μονῆς τῆς Φανερωμένης,
ἅμα καὶ διδάσκαλος,
τοῦ λαοῦ άκριβέστατος,
άσκητὴς περίδοξος,
τῶν πτωχῶν δὲ τὸ στήριγμα.
Καὶ νῦν έν ούρανοῖς ταῖς πρεσβείαις,
ὑπὲρ ἡμῶν καθικετεύει.

Ἡ ᾿Εκτενὴς καὶ ἡ Ἀπόλυσις
μεθ' ἣν τὸ παρὸν Προσόμοιον.

Ἦχος β΄. Ὅτε έκ τοῦ ξύλου σε νεκρόν.

Πάτερ έλεῆμον τοῦ λαοῦ,
καὶ παρηγορία καὶ σκέπη,
καὶ παραμύθιον,
τῶν έν περιστάσεσι,
καὶ έν ταῖς θλίψεσιν,
έπεγνώσθης τοῖς θαύμασι,
καὶ ταῖς ίατρείαις·
ὅθεν Ἀθανάσιε,
τὸ σὸν κοινόβιον,
τῆς Φανερωμένης Παρθένου,
πάσης δυσφορίας καὶ βλάβης,
ταῖς ἱκετηρίαις σου προστάτευσον.

Δέσποινα πρόσδεξαι...

Τὴν πᾶσαν έλπίδα μου...